16 LP-V

ο]ἰ μὲν ἰππήων στρότον, οἰ δὲ πέσδων,
οἰ δὲ νάων φαῖσ' ἐπ[ὶ] γᾶν μέλαι[ν]αν
ἔ]μμεναι κάλλιστον, ἔγω δὲ κῆν' ὄτ-
4 τω τις ἔραται·

πά]γχυ δ' εὔμαρες σύνετον πόησαι
π]άντι τ[ο]ῦτ', ἀ γὰρ πόλυ περσκέθοισα
κάλλος [ἀνθ]ρώπων Ἐλένα [τὸ]ν ἄνδρα
8 τὸν [πανάρ]ιστον

καλλ[ίποι]σ' ἔβα ἴς Τροΐαν πλέοι[σα
κωὐδ[ὲ πα]ῖδος οὐδὲ φίλων το[κ]ήων
πά[μπαν] ἐμνάσθη, ἀλλὰ παράγαγ' αὔταν
12 [ ]σαν

[γν]άμπτον γὰρ [
[ ]... κούφως τ[ ]οη.[.]ν
κἄ]με νῦν Ἀνακτορί[ας ὀ]νέμναι-
16 σ' οὐ] παρεοίσας,

τᾶ]ς ‹κ›ε βολλοίμαν ἔρατόν τε βᾶμα
κἀμάρυχμα λάμπρον ἴδην προσώπω
ἢ τὰ Λύδων ἄρματα κ‹αὶ π›ανόπλοις
20 πεσδομ]άχεντας.

].μεν οὐ δύνατον γένεσθαι
].ν ἀνθρωπ[... π]εδέχην δ' ἄρασθαι
[ ]
24 [ ]

[ ]
[ ]
[ ]
28 προσ[

ὠσδ[
..].[
.].[.] ωλ.[
32 τ' ἐξ ἀδοκή[τω

16 LP-V

Quien montadas las huestes, quien de infantes
o naves dicen que en la tierra negra
es lo más bello; yo, al contrario, aque-
4 llo que se ama.

Y es muy fácil hacerlo comprensible
a todos, pues quien mucho descollaba
entre humanos por bella, Helena, a su hombre,
8 el muy mejor,

dejando, marchó a Troya en una nave,
y a su hija y sus padres ni siquiera
los recordó, sino que la sedujo
12 . . . .

. . . . flexible, en efecto, ...
. . . . . levemente .. . .
y ahora trajo a Anactoria a mi recuerdo
16 estando ausente.

De ella quisiera ver el paso amable
y el brillo luminoso de la cara
más que los carros lidios y con armas
20 a los infantes.

———

. . . . no es posible que exista
. . . . humano... que desee recibir
. . . . . .
24 . . . . . .

. . . . . .
. . . . . .
. . . . . .
28 ....

... .
. . ..
. .. .
32 .. de lo inesperado.